ἐναντία, ὡς κατὰ μηδὲν ἐπικοινωνεῖν θάτερον θατέρῳ, ἀγέννητά τε καὶ ζῶντα ἄμφω. οὐκοῦν ἢ χωρίσει γε ταῦτα ἀπ᾽ ἀλλήλων, ἢ σὺν ἀλλήλοις ὄντα φίλα καὶ οὐδαμῶς ἐναντία φανήσεται. ἀλλὰ δῆλον ὅτι χωρὶς ἀπ᾽ ἀλλήλων καὶ αὐτὸς ταῦτα εἶναί φησιν. ἀεὶ οὖν συμπεπερασμένον ἑκάτερον θατέρῳ τὴν οὐσίαν ἔσται. καὶ οὐδέτερον ἀπεριόριστον. περιορίζειν δὲ κατ᾽ οὐσίαν τὸν θεόν, καὶ μὴ ἀπέραντον εἰδέναι τε καὶ ὁμολογεῖν, πῶς οὐ λίαν ἀσεβές; ὁπότε οὐ μόνον περιορίζεσθαι δόξει τὴν οὐσίαν καὶ περιγεγράφθαι, ἀλλὰ καὶ περὶ τῆς κακίας, ὡς ἐκεῖνός φησι τοῦτο πάσχειν; ὅπερ πρῶτον μὲν τῶν κοινῶν ἐννοιῶν ἐκτός, αἵτινες ὑποβάλλουσιν αὐτὸν γινώσκειν εἶναί τε πανταχοῦ καὶ ἀπερίληπτον ὑπάρχειν τὴν φύσιν. ἔτι μὲν εἰ ταῦτα διέστηκεν ἀναγκαίως ἀλλήλων, οὐ μόνον θεοῦ, κατὰ τὴν ἐκείνου μανίαν δόξει τὴν φύσιν περιορίζεσθαι, ἀλλὰ καὶ ἐν ἰδίῳ τόπῳ τυγχάνειν καὶ καταμένειν παραπλησίως τῷ ἐναντίῳ. τὰ γὰρ ὑπ᾽ ἀλλήλων εἰργόμενα τόποις ἰδίοις δηλαδὴ περιγεγράφεται. οὐκοῦν ἐξετασέον, εἰ μὲν πρεσβύτερα τῶν τόπων ἄμφω τὰ ἐναντία ὡς ἀγέννητα, ἦν ὅτε πάλιν πρότερον ἐτύγχανε κοινῇ τῆς ἐναντιότητος ἀπηλλαγμένα. εἰ δὲ συναΐδιος ἑκατέρου τῆς οὐσίας ὁ χωρισμός, προγενέστερος ἑκατέρου τῆς οὐσίας ὁ τόπος, ἢ συναγέννητος. ἀλλ᾽ εἰ μὲν προγενέστερος ὡς ἑκατέρου τόπου βλάστημα δοκεῖν εἶναι ἑκάτερον, οὔτ᾽ ἀγέννητα ταῦτα, οὔτε ἀΐδια. ὅπερ ὑπάρχειν δόξει τοῖς τόποις, ἐξ ὧν ταῦτα. εἰ δὲ συναγέννητος ἔσται πλείω. καὶ οὐκ ἔτι δύο τὰ ἀγέννητα. ἀνάγκη γὰρ ἕτερα τυγχάνειν ἐκεῖνα παρὰ ταῦτα, ἐν οἷς ἐστι ταῦτα, ὧν ἄνευ οὐδὲ εἶναι δυνήσεται. πρὸς δὲ τούτοις καὶ μεθόριον ἀμφοτέρων ἀπαιτητέον διεῖργον καὶ διακωλῦον ἑκατέρῳ τὴν πρὸς θάτερον κοινωνίαν, ἵνα μὴ διὰ τῶν τερμάτων αὐτῆς ἀλλήλοις καταμιγνύμενα τὸν τῆς ἐναντιότητος διαφθείρει λόγον. τί τοίνυν ἔσται τὸ διαφράττον καὶ διεῖργον ἄμφω; τί

τε